αὐτοῖς Γινώσκετε Λαβαν τὸν υἱὸν Ναχωρ; οἱ δὲ εἶπαν Γινώσκο-
6 μεν. [6]εἶπεν δὲ αὐτοῖς Ὑγιαίνει; οἱ δὲ εἶπαν Ὑγιαίνει. καὶ ἰδοὺ
7 Ραχηλ ἡ θυγάτηρ αὐτοῦ ἤρχετο μετὰ τῶν προβάτων. [7]καὶ εἶπεν
Ιακωβ Ἔτι ἐστὶν ἡμέρα πολλή, οὔπω ὥρα συναχθῆναι τὰ κτήνη·
8 ποτίσαντες τὰ πρόβατα ἀπελθόντες βόσκετε. [8]οἱ δὲ εἶπαν Οὐ
δυνησόμεθα ἕως τοῦ συναχθῆναι πάντας τοὺς ποιμένας καὶ ἀπο-
κυλίσωσιν τὸν λίθον ἀπὸ τοῦ στόματος τοῦ φρέατος, καὶ ποτι-
9 οῦμεν τὰ πρόβατα. [9]ἔτι αὐτοῦ λαλοῦντος αὐτοῖς καὶ Ραχηλ ἡ
θυγατηρ Λαβαν ἤρχετο μετὰ τῶν προβάτων τοῦ πατρὸς αὐτῆς·
10 αὐτὴ γὰρ ἔβοσκεν τὰ πρόβατα τοῦ πατρὸς αὐτῆς. [10]ἐγένετο δὲ
ὡς εἶδεν Ιακωβ τὴν Ραχηλ θυγατέρα Λαβαν ἀδελφοῦ τῆς μητρὸς
αὐτοῦ καὶ τὰ πρόβατα Λαβαν ἀδελφοῦ τῆς μητρὸς αὐτοῦ, καὶ
προσελθὼν Ιακωβ ἀπεκύλισεν τὸν λίθον ἀπὸ τοῦ στόματος τοῦ
φρέατος καὶ ἐπότισεν τὰ πρόβατα Λαβαν τοῦ ἀδελφοῦ τῆς μητρὸς
11 αὐτοῦ. [11]καὶ ἐφίλησεν Ιακωβ τὴν Ραχηλ καὶ βοήσας τῇ φωνῇ
12 αὐτοῦ ἔκλαυσεν. [12]καὶ ἀνήγγειλεν τῇ Ραχηλ ὅτι ἀδελφὸς τοῦ
πατρὸς αὐτῆς ἐστιν καὶ ὅτι υἱὸς Ρεβεκκας ἐστίν, καὶ δραμοῦσα
13 ἀπήγγειλεν τῷ πατρὶ αὐτῆς κατὰ τὰ ῥήματα ταῦτα. [13]ἐγένετο δὲ
ὡς ἤκουσεν Λαβαν τὸ ὄνομα Ιακωβ τοῦ υἱοῦ τῆς ἀδελφῆς αὐτοῦ,
ἔδραμεν εἰς συνάντησιν αὐτῷ καὶ περιλαβὼν αὐτὸν ἐφίλησεν καὶ
εἰσήγαγεν αὐτὸν εἰς τὸν οἶκον αὐτοῦ. καὶ διηγήσατο τῷ Λαβαν
14 πάντας τοὺς λόγους τούτους. [14]καὶ εἶπεν αὐτῷ Λαβαν Ἐκ τῶν
ὀστῶν μου καὶ ἐκ τῆς σαρκός μου εἶ σύ. καὶ ἦν μετ᾽ αὐτοῦ
μῆνα ἡμερῶν.
15 [15]Εἶπεν δὲ Λαβαν τῷ Ιακωβ Ὅτι γὰρ ἀδελφός μου εἶ, οὐ δου-
λεύσεις μοι δωρεάν· ἀπάγγειλόν μοι, τίς ὁ μισθός σού ἐστιν.
16 [16]τῷ δὲ Λαβαν δύο θυγατέρες, ὄνομα τῇ μείζονι Λεια, καὶ ὄνομα
17 τῇ νεωτέρᾳ Ραχηλ· [17]οἱ δὲ ὀφθαλμοὶ Λειας ἀσθενεῖς, Ραχηλ δὲ
18 καλὴ τῷ εἴδει καὶ ὡραία τῇ ὄψει. [18]ἠγάπησεν δὲ Ιακωβ τὴν
Ραχηλ καὶ εἶπεν Δουλεύσω σοι ἑπτὰ ἔτη περὶ Ραχηλ τῆς θυγα-
19 τρός σου τῆς νεωτέρας. [19]εἶπεν δὲ αὐτῷ Λαβαν Βέλτιον δοῦναί
με αὐτὴν σοὶ ἢ δοῦναί με αὐτὴν ἀνδρὶ ἑτέρῳ· οἴκησον μετ᾽
20 ἐμοῦ. [20]καὶ ἐδούλευσεν Ιακωβ περὶ Ραχηλ ἔτη ἑπτά, καὶ ἦσαν
ἐναντίον αὐτοῦ ὡς ἡμέραι ὀλίγαι παρὰ τὸ ἀγαπᾶν αὐτὸν αὐτήν. —
21 [21]εἶπεν δὲ Ιακωβ πρὸς Λαβαν Ἀπόδος τὴν γυναῖκά μου, πεπλήρωνται
22 γὰρ αἱ ἡμέραι μου, ὅπως εἰσέλθω πρὸς αὐτήν. [22]συνήγαγεν δὲ

6 και 911] pr. ετι αυτου λαλουντος A | fin. 911] + του πατρος αυτης αυτη γαρ εβοσκεν τα προβατα του πατρος αυτης A† (compl. add. του πατρος αυτης tantum) || 10 και τα προβ. λαβαν αδ. της μητρος αυτου 911] > A || 13 εγενετο δε] και εγ. A† | αυτω 911] αυτου A || 16 δυο 911] pr. ησαν A || 17 καλη 911] pr. ην A || 20 ετη επτα 911] tr. A | και 2⁰ — fin. > A† || 21 προς 911] τω A | αποδος 911] + μοι A